# 07 DECEMBRIE

# ACATISTUL SF.MUCENITE FILOTEEA DE LA CURTEA DE ARGES

ATENA,2015


SF. M.
FILOFTEIA

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΑΓΙΑΝ ΠΑΙΔΟΜΑΡΤΥΡΑ

# ΦΙΛΟΘΕΗΝ

## ΤΗΝ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

*

*

* * * * *

*

*

**Ἀθῆναι 2015**

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΑΓΙΑΝ ΠΑΙΔΟΜΑΡΤΥΡΑ

# ΦΙΛΟΘΕΗΝ

## ΤΗΝ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

Ἡ Μνήμη αὐτῆς τελεῖται τῇ Ζ΄ Δεκεμβρίου.

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.**

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Σεμνὴν παιδίσκην τοῦ Τυρνόβου εὐφημήσωμεν,
ταῖς μιαιφόνοις πατρικαῖς χερσὶν ἀθλήσασαν,
Φιλοθέην, τὴν ἀκτῖσι φιλοθεΐας
τηλαυγῶς καὶ συμπαθείας πρὸς τοὺς πένητας
διαλάμψασαν, ὡς φέγγος ἀγαθότητος,
πόθῳ κράζοντες· Χαίροις, Μάρτυς παιδόαθλε.

**Οἱ Οἶκοι.**

Ἄγγελος συμπαθείας
πρὸς τοὺς πένητας, Μάρτυς
καλλίπαις, Φιλοθέη, ἐπώφθης, **(ἐκγ΄)**
ἡ κτανθεῖσα χειρὶ πατρικῇ,
τοῦ Τυρνόβου γόνε καὶ Ναοῦ σέμνωμα
τοῦ Ἄρτζες· ὅθεν ἅπαντες
ἐν ὕμνοις μελιχροῖς βοῶμεν·

Χαῖρε, τὸ κλέος τῆς Βουλγαρίας·
χαῖρε, τὸ εὖχος τῆς Ῥουμανίας.

Χαῖρε, συμπαθείας κρηπὶς ἀδιάσειστος·
χαῖρε, εὐσεβείας φανὸς τηλαυγέστατος.

Χαῖρε, γέρας πολυτίμητον κορασίδων εὐλαβῶν·
χαῖρε, σέλας παμφαέστατον ἀθληφόρων εὐσταλῶν.

Χαῖρε, ἐπιληψίας ταχινὴ θεραπεία·
χαῖρε, τῆς Ἐκκλησίας βοηθὸς ἡ ταχεῖα.

Χαῖρε, Μαρτύρων παίδων ἡ σύναυλος·
χαῖρε, Ἀγγέλων θείων ὁ μόσκηνος.

Χαῖρε, σεμνῶν κορασίδων φαιδρότης·
χαῖρε, πολλῶν θαυμασίων ἀκρότης·

Χαίροις, Μάρτυς Παιδόαθλε.

**Β**λάστημα τοῦ Τυρνόβου
εὐθαλὲς καὶ ὡραῖον,
Μαρτύρων, Φιλοθέη, ἀκρότης,
συμπαθείας ὁδμαῖς σου τερπναῖς
πρὸς δεινῶς ἀλγοῦντας καὶ πτωχοὺς ηὔφρανας
Ἀγγέλους, σὸν μαρτύριον
ἰδόντας, τοὺς ἀεὶ βοῶντας·

Ἀλληλούϊα.

**Γ**έρας τῆς εὐσεβείας
τιμαλφές, Φιλοθέη,
ἡ σπλάγχνα οἰκτιρμῶν καὶ ἐλέους
πρὸς τοὺς πένητας, τοὺς ἐνδεεῖς
καὶ τοὺς στερουμένους ἀγαθῶν, ἔνδοξε,
δεικνῦσα, μαρτυρίῳ σου
διήγειρας πιστοὺς βοᾶν σοι·

Χαῖρε, ἀμνὰς τοῦ Χριστοῦ καλλίστη·
χαῖρε, ψεκὰς ἀθλητῶν ἡδίστη.

Χαῖρε, τοῦ πατρὸς ἡ χερσὶ μαρτυρήσασα·
χαῖρε, εὐσθενῶς Ἰησοῦν ἡ κηρύξασα.

Χαῖρε, κύμινον νεόφυτον τῆς ἀγάπης τοῦ Χριστοῦ·
χαῖρε, εὔοσμον λευκάνθεμον Ἐκκλησίας τῆς Αὐτοῦ.

Χαῖρε, σῶφρον παιδίσκη, παρθενίας ἀκρότης·
χαῖρε, Μάρτυς ἀρίστη, εὐτολμίας φαιδρότης.

Χαῖρε, Ἀγγέλων θείων συνόμιλε·
χαῖρε, Μαρτύρων πάντων ὁμόσκηνε.

Χαῖρε, κρουνὸς ὁ ἐν Ἄρτζες θαυμάτων·
χαῖρε, φανὸς παμφαὴς ἰαμάτων·

Χαίροις, Μάρτυς παιδόαθλε.

Δύναμιν εἰληφυῖα,
Φιλοθέη, θεόθεν
ὑπέμεινας στερρῶς μοχθηρίαν
καὶ κακότητα σῆς μητρυιᾶς
ἐν τῇ ἡλικίᾳ ἀληθῶς, ἔνθεε,
τῇ παιδικῇ σου ψάλλουσα
Νυμφίῳ σου τῷ οὐρανίῳ·

Ἀλληλούϊα.

Ἔφερες τὰς κακώσεις
ἁπαλοῦ σου σαρκίου
χειρῶν ἐκ μητρυιᾶς σου ἐκθύμως,
Φιλοθέη, καὶ ταύτας Χριστῷ
τῷ Θεῷ ὡς δώρημα, σεμνή, τέλειον
προσήγαγες· διόπερ νῦν
βοῶμέν σοι ἀξιοχρέως·

Χαῖρε, ἀγλάϊσμα παιδοάθλων·
χαῖρε, ὡράϊσμα πόλου δόμων.

Χαῖρε, καρτερίας ἡ στίγματα φέρουσα·
χαῖρε, εὐσεβείας ἡ σθένος δεικνύουσα.

Χαῖρε, σέμνωμα πολύτιμον ἀκραιφνοῦς ὑπομονῆς·
χαῖρε, καύχημα θεόλεκτον ἀγωγῆς μαρτυρικῆς.

Χαῖρε, θεία παιδίσκη, τῆς σεμνότητος ῥόδον·
χαῖρε, Μάρτυς ἀρίστη, γενναιότητος κρίνον.

Χαῖρε, Τυρνόβου βλάστημα πάνσεπτον·
χαῖρε, Κυρίου πίστεως ἔσοπτρον·

Χαῖρε, ἡ βρύσις ἐν Ἄρτζες θαυμάτων·
χαῖρε, ἡ καῦσις ἐσμοῦ δαιμονίων·

Χαίροις, Μάρτυς παιδόαθλε.

Ζήλου ἐμπεπλησμένη,
Φιλοθέη, ἀγάπης
πρὸς πένητας, Τυρνόβου κοσμῆτορ,
καὶ τοῦ Ἄρτζες φρουρὲ ἀκλινές,
τοῖς πτωχοῖς σκορπίσαι τῆς ψυχῆς πλοῦτόν σου

ἐπόθεις, ὧνπερ ἤνοιξας
τὰ χείλη εὐλαβῶς κραυγάζειν·

Ἀλληλούϊα.

Ἤσχυνας, Φιλοθέη,
τὴν στυγνὴν μητρυιάν σου
ἰσχύϊ τοῦ Κυρίου ἀγάπης
καὶ ὑπέμεινας κολαφισμοὺς
καὶ δαρμοὺς ὡς ἄλλου ἀληθῶς πάσχοντος·
διό σε μακαρίζοντες
βοῶμέν σοι ἐν κατανύξει·

Χαῖρε, ὁ ἄκμων τῆς καρτερίας·
χαῖρε, τὸ μάκτρον τῆς εὐποιΐας.

Χαῖρε, κορασίδων ἐνθέων ἐκτύπωμα·
χαῖρε, ἀθληφόρων θεόγλυπτον ἄγαλμα.

Χαῖρε, ὅτι ἐμεγάλυνας τρόποις σου σεπτοῖς Χριστόν·
χαῖρε, ὅτι κατεπάτησας τὸν μισόκαλον ἐχθρόν.

Χαῖρε, ἡ ἐνεγκοῦσα ἀνυποίστους βασάνους·
χαῖρε, θείους λαβοῦσα οὐρανόθεν στεφάνους.

Χαῖρε, σεμνότητος πάμφωτον αὔγασμα·
χαῖρε, χρηστότητος πάντιμον σέμνωμα.

Χαῖρε, διάδημα τῆς συμπαθείας·
χαῖρε, ἀμάρυγμα τῆς εὐποιΐας·

Χαίροις, Μάρτυς παιδόαθλε.

Θέλουσα διανεῖμαι
ἐνδεέσι τὸν ἄρτον
πατρός σου, Φιλοθέη ἀλκίφρον,
οὐκ ἐφείσω τῆς σῆς μητρυιᾶς
κολασμοὺς καὶ ἄλγη ζοφερά, πάντιμε,
τοῦ παιδικοῦ σαρκίου σου
δι' Ἄρτον τῆς ζωῆς καὶ ᾖδες·

Ἀλληλούϊα.

Ἴσχυσας τῇ δυνάμει
τοῦ Χριστοῦ, Φιλοθέη,
πατῆσαι τὴν ἰσχὺν τοῦ Βελίαρ
καὶ συντρίψαι ἐνέδρας αὐτοῦ
εὐσεβείας ἔργοις, Μάρτυς παιδόαθλε,
καὶ μαρτυρίου αἵμασι
πανσέπτοις σου· διὸ βοῶμεν·

Χαῖρε, φρονήσεως ἡ κινύρα·
χαῖρε, ἀθλήσεως θεία λύρα.

Χαῖρε, ἡ ἐκ βρέφους Χριστὸν ἀγαπήσασα·
χαῖρε, ἡ τοῦ ὕψους τοῦ πόλου ποθήσασα.

Χαῖρε, ἴον εὐωδέστατον παιδοάθλων εὐλαβῶν·
χαῖρε, βάθρον ἀδιάσειστον νεανίδων εὐσθενῶν.

Χαῖρε, ὅτι λαμπρύνεις τοὺς χοροὺς τῶν Ἀγγέλων·
χαῖρε, ὅτι αὐγάζεις τὰς καρδίας μερόπων.

Χαῖρε, παγὶς τοῦ πλάνου ἀλάστορος·
χαῖρε, βολὶς Θεοῦ ἀγαπήσεως.

Χαῖρε, ἰάτειρα ἐπιληψίας·
χαῖρε, ὀλέτειρα μισανθρωπίας·

Χαίροις, Μάρτυς παιδόαθλε.

Κάλλει φιλανθρωπίας
καὶ ἀγάπης πρὸς πέλας
λαμπρῶς κεκοσμημένη, ἀλκίφρον
Φιλοθέη, ὀργὴν μητρυιᾶς
σῆς ἐξῆψας, ὅτε τοὺς πτώχους ἔθρεψας
πατρός σου τοῖς ἐδέσμασιν,
ὧν ἤνοιξας τὰ χείλη ψάλλειν·

Ἀλληλούϊα.

Λάμψασα, Φιλοθέη,
ἀγαθότητος φέγγει,
ἀρίστη παιδομάρτυς Τυρνόβου,
κατεφώτισας σαῖς ἀστραπαῖς
θαυμασίων Ἄρτζες τὴν Μονήν, ἔχουσαν

ὡς ὄλβον τὰ σὰ λείψανα
καὶ κράζουσαν ἐν εὐλαβείᾳ·

Χαῖρε, ἡ βρύσις τῶν ἰαμάτων·
χαῖρε, ἡ πτῶσις τῶν δαιμονίων.

Χαῖρε, μητρυιᾶς σου κακίας ἐδάφισις·
χαῖρε, καρδιᾶς σου ἀγάπης ἀνάδειξις.

Χαῖρε, ὅτι καθυπέμεινας τοῦ πατρός σου τὴν ὀργήν·
χαῖρε, ὅτι πᾶσιν ἔδειξας τοῦ Νυμφίου σου ἰσχύν.

Χαῖρε, τοῦ μαρτυρίου ἡ βαδίσασα τρίβους·
χαῖρε, τοῦ Θεανθρώπου ἡ κοσμήσασα δόμους.

Χαῖρε, Χριστοῦ τῆς πίστεως σέμνωμα·
χαῖρε, ἐχθροῦ δολίου κατάπτωμα·

Χαῖρε, ἐπάλξεων ἔνοικος θείων·
χαῖρε, ἰάσεων πρόξενος ξένων.

Χαίροις, Μάρτυς παιδόαθλε.

**Μ**έμνησο, Φιλοθέη
παιδομάρτυς, τῶν πίστει
ὑμνούντων σου τιμίους καμάτους
καὶ σοῦ σκήνους μετακομιδὴν
εἰς Μονὴν Κουρτέας θαυμαστήν, πάγκαλε,
κατὰ τὴν σὴν ὑπόδειξιν
τὴν ξένην τοῖς πιστῶς βοῶσιν·

Ἀλληλούϊα.

**Ν**εύσει σου, Φιλοθέη,
οὐρανίῳ σὸν σκῆνος
ἐλάφρυνας, παιδόαθλε Μάρτυς,
ὅτε κλῆσιν Κουρτέας Μονῆς
ξένως τοῦ Τυρνόβου ὁ λαός, ἔνδοξε,
καὶ Ἱερεῖς προέφερον,
οὓς ἔπιθες βοᾶν σοι ταῦτα·

Χαῖρε, ἡ φαῦσις ζωῆς ἁγίας·
χαῖρε, ἡ ῥῶσις ἐπιληψίας.

Χαῖρε, ἐνδεεῖς καὶ πτωχοὺς ἡ χορτάσασα·

χαῖρε, ἀσθενεῖς ἡ ταχὺ θεραπεύσασα.

Χαῖρε, πάντιμον μυράλειπτρον συμπαθείας τῶν πτωχῶν·
χαῖρε, εὔοσμον λευκάνθεμον ἀρωγῆς Χριστιανῶν.

Χαῖρε, ὅτι βραβείων ἀπολαύεις ἀφθάρτων·
χαῖρε, ὅτι παμφώτων πέλεις φῶς κορασίδων.

Χαῖρε, ἀμνὰς Κυρίου πανάσπιλος·
χαῖρε, λαμπὰς ἀνδρείας ὑπέρφωτος.

Χαῖρε, Τυρνόβου θειότατον θρέμμα·
χαῖρε, Ὑψίστου Μαρτύρων τὰ στέμμα·

Χαίροις, Μάρτυς παιδόαθλε.

Ξένων θαυμάτων φρέαρ,
Φιλοθέη, ἐδείχθη
τὸ μετακομισθὲν εἰς Κουρτέας
τὸ Σεμνεῖον τὸ σκῆνος τὸ σόν,
τῆς ἐπιληψίας θεία ἴατειρα,
καὶ ἰαμάτων χείμαῤῥος
πολύῤῥυτος τοῖς ἐκβοῶσιν·

Ἀλληλούϊα.

Ὄλβος τοῦ Ἄρτζες ὤφθης
πολυτίμητος ὄντως,
στεῤῥόφρον Φιλοθέη, παιδίσκη
τοῦ Τυρνόβου καὶ γέρας σεπτὸν
τῆς Μονῆς Κουρτέας, εὐλαβῶς κράζοντες
τὴν θήκην ἀσπαζόμεθα
λειψάνων σου καὶ ἐκβοῶμεν·

Χαῖρε, χαρίτων εὔχρηστον σκεῦος·
χαῖρε, θαυμάτων πάντιμον εὖχος.

Χαῖρε, Μαρτύρων πίστεως πρώταθλος·
χαῖρε, Ἀγγέλων δόξης συμμέτοχος.

Χαῖρε, ὅτι κατεφρόνησας ἡλικίαν παιδικήν·
χαῖρε, ὅτι δῶρον ἤνεγκας Κτίστῃ ἄθλησιν τὴν σήν.

Χαῖρε, παιδομαρτύρων εὐσθενῶν ὡραιότης·
χαῖρε, Κτίστου ἀμνάδων εὐπρεπῶν κοσμιότης.

Χαῖρε, ἐχθροῦ μανίαν φαυλίσασα·
χαῖρε, Χριστοῦ ἰσχὺν μεγαλύνασα.

Χαῖρε, πυξὶς εὐσεβῶν νεανίδων·
χαῖρε, βολὶς κατ᾽ ἐχθρῶν ἀοράτων.

Χαίροις, Μάρτυς παιδόαθλε.

Παίδων Μαρτύρων εὖχος,
Φιλοθέη, πατρός σου
ἀστόργου καὶ στυγνοῦ σῇ ἀθλήσει
βροτοκτόνου εἰς χεῖρας ἐχθροῦ,
πάντων τῶν ἀνθρώπων γένος πτερνίζοντος,
παρέδωκας, παιδόαθλε,
ἡ ψάλλουσα τῷ σῷ Νυμφίῳ·

Ἀλληλούϊα.

Ῥείθροις τῶν σῶν αἱμάτων,
Φιλοθέη, Τυρνόβου
ἡγίασας, παιδόαθλε, χθόνα,
καὶ θαυμάτων σου τοῖς ὀχετοῖς
τὴν περιοικίδα Ἄρτζες, πανεύφημε,
ἡ σθένει σου ἀνοίξασα
τὰ στόματα πιστῶν βοᾶν σοι·

Χαῖρε, εὐτόλμως ἠγωνισμένη·
χαῖρε, πανδήμως δεδοξασμένη.

Χαῖρε, ἣν σχοινίοις γεννήτωρ σε ἔδησεν·
χαῖρε, ἣν στεφάνοις Χριστός σε κατέστεψεν.

Χαῖρε, ὅτι σὲ ἐπάτησεν ὁ πατὴρ αὐτοῦ ποσί·
χαῖρε, ὅτι σὲ ηὐλόγησεν ὁ Σωτὴρ Αὐτοῦ χερσί.

Χαῖρε, τῆς εὐτολμίας εὐωδέστατον ῥόδον·
χαῖρε, τῆς ἀριστείας ἀδιάσειστον βάθρον.

Χαῖρε, Χριστοῦ τῆς πίστεως ἔκφρασις·
χαῖρε, Αὐτοῦ ἀγάπης ὑπόστασις.

Χαῖρε, νοσούντων πηγὴ ἰαμάτων·
χαῖρε, καμνόντων ἰσχὺς καὶ πασχόντων·

Χαίροις, Μάρτυς παιδόαθλε.

Στέφει κεκοσμημένη,
Φιλοθέη, ἀφθάρτῳ
ἀμνὰς ὡς εὐπρεπὴς τοῦ Ὑψίστου
καὶ παιδόαθλος πανευσταλὴς
συναυλίζῃ δήμοις, Μάρτυς ἀοίδιμε,
Ἀγγέλων, μεθ' ὧν Κύριον
ὑμνεῖς καὶ Πλαστουργὸν βοῶσα·

Ἀλληλούϊα.

Τόλμης καὶ εὐεξίας
ἀκρεμών, Φιλοθέη,
παιδίσκη καλλιμάρτυς, στεφάνους
ἣ λαβοῦσα θεόθεν χρυσοῦς,
δεῖξον τὴν σὴν χάριν τοῖς πιστῶς μέλπουσι
σὴν ἄθλησιν καὶ ᾄσμασι
κραυγάζουσι πιστῶς σοι ταῦτα·

Χαῖρε, ἡ ἔνοικος Παραδείσου·
χαῖρε, ἡ κάτοχος στέφους θείου.

Χαῖρε, τὴν ὀφρὺν τοῦ ἐχθίστου πατήσασα·
χαῖρε, τὴν ἰσχὺν Θεανθρώπου κρατύνασα.

Χαῖρε, βάθρον θεοστήρικτον κορασίδων εὐκλεῶν·
χαῖρε, ἴον θεομύριστον ἀθληφόρων εὐσθενῶν.

Χαῖρε, ὑπεραρθεῖσα μητρυιᾶς σου κακίας·
χαῖρε, ἡ ἐποφθεῖσα ἀκρεμὼν εὐσεβείας.

Χαῖρε, παγὶς ἐχθίστου καὶ σύντριμμα·
χαῖρε, Μονῆς Κουρτέας θησαύρισμα.

Χαῖρε, ἀκτὶς παμφαὴς συμπαθείας·
χαῖρε, πυξὶς ἄκρας φιλανθρωπίας·

Χαίροις, Μάρτυς παιδόαθλε.

Ὕψους ἐκ σῆς εὐκλείας,
Φιλοθέη, καὶ δόξης
εὐλόγει καὶ ἁγίαζε πάντας
τοὺς προστρέχοντας σῇ ἀρωγῇ
καὶ προνοίᾳ, Μάρτυς θαυμαστή, καύχημα

τοῦ Ἄρτζες, ἡ κραυγάζουσα
ἀπαύστως τῷ Δωρεοδότῃ·

Ἀλληλούϊα.

**Φ**ίλη Θεοῦ τοῦ Λόγου,
Φιλοθέη, γνησία
καὶ Μάρτυς, ἀθληφόρε παιδίσκη,
μιαιφόμοις χερσὶ σοῦ πατρὸς
τρίβους μαρτυρίου ἀληθῶς, πάνσεμνε,
βαδίσασα, δεήσεων
ἐπάκουσον τῶν νῦν βοώντων·

Χαῖρε, πενήτων ἀγάπης δόναξ·
χαῖρε, Μαρτύρων ἐνθέων ὄρπηξ.

Χαῖρε, παιδοάθλων ἀρίστων ὑπόδειγμα·
χαῖρε, τῶν ἀμνάδων Χριστοῦ σεμνολόγημα.

Χαῖρε, σμάραγδος ἀτίμητος φιλανθρώπου ἀγωγῆς·
χαῖρε, σάπφειρος ἐνδείξεως ἀρετῆς ἀθλητικῆς.

Χαῖρε, τῶν καλλινίκων ἀθληφόρων φαιδρότης·
χαῖρε, τῶν ἀνιάτων νοσημάτων ἡ ῥῶσις.

Χαῖρε, ἀλκὴ ἀμνάδων θεόσδοτος·
χαῖρε, πηγὴ θαυμάτων πολύῤῥυτος.

Χαῖρε, ἰσχὺς καὶ χαρὰ σῶν προσφύγων·
χαῖρε, βαλβὶς εὐσθενῶν ἀθληφόρων·

Χαίροις, Μάρτυς παιδόαθλε.

**Χ**άριτος, Φιλοθέη,
ποταμὸς πολυχεύμων
ἐδείχθη ἡ σορὸς σῶν λειψάνων,
ἣν ὡς ὄλβον κατέχει σεπτὸν
ἡ ἐν Ἄρτζες Μάνδρα, Μάρτυς παιδόαθλε,
Κουρτέας, θαυματόβρυτε
ἰάτειρα πιστῶν βοώντων·

Ἀλληλούϊα.

Ψάλλειν ἐν εὐλαβείᾳ,
Φιλοθέη, σοὺς ἄθλους
ἀξίωσον τοὺς σοὶ προσιόντας
καὶ τιμῶντάς σε ὡς τοῦ Θεοῦ
εὐπρεπῆ ἀμνάδα καὶ πηγὴν ἄφθονον
θαυμάτων, Μάρτυς πάνσεμνε,
πρὸς ἣν πανευλαβῶς φωνοῦμεν·

Χαῖρε, ὁ πύργος θεοσεβείας·
χαῖρε, τὸ ἄνθος θεοσημείας.

Χαῖρε, Ἐκκλησίας Χριστοῦ κρίνον εὔοσμον·
χαῖρε, ἰατρείας νοσούντων ἀνάκτορον.

Χαῖρε, στέφος χρυσοποίκιλτον παιδοάθλων εὐσταλῶν·
χαῖρε, νῖκος θεοδώρητον καὶ ταμεῖον ἀρετῶν.

Χαῖρε, εὐσεβοφρόνων ἀσθενῶν θεραπεία·
χαῖρε, τῶν σὲ ὑμνούντων ταχινὴ προστασία.

Χαῖρε, παιδίσκη ἄγαν φιλάρετος·
χαῖρε, ἀρίστη Μάρτυς καὶ πρώταθλος.

Χαῖρε, ἡμῶν ἐν δεινοῖς ἀντιλῆπτορ·
χαῖρε, πιστῶν ἀσθενούντων ἀκέστορ·

Χαίροις, Μάρτυς παιδόαθλε.

Ὦ καλλίνικε Μάρτυς,
Φιλοθέη, Κυρίου,
τοῦ Ἄρτζες Ῥουμανίας σεμνότης, (ἐκγ´)
ἡ κτανθεῖσα χερσὶ σοῦ πατρός,
ἀκλινῶς δυσώπει τὸν Χριστὸν ἅπασι
δωρήσασθαι ὑγίειαν
τοῖς ψάλλουσιν ἐν εὐλαβείᾳ·

Ἀλληλούϊα.

**Καὶ αὖθις τὸ Κοντάκιον. Ἦχος πλ. δ´. Τῇ Ὑπερμάχῳ.**

Σεμνὴν παιδίσκην τοῦ Τυρνόβου εὐφημήσωμεν,
ταῖς μιαιφόνοις πατρικαῖς χερσὶν ἀθλήσασαν,
Φιλοθέην, τὴν ἀκτῖσι φιλοθεΐας
τηλαυγῶς καὶ συμπαθείας πρὸς τοὺς πένητας

διαλάμψασαν, ὡς φέγγος ἀ γαθότητος,
πόθῳ κράζοντες· Χαίροις, Μάρτυς παιδόαθλε.

**Δίστιχον.**

**Χαῖ ρε, Φιλοθέη, ψάλλει Χαραλάμπης**
**σὺ ν Εὐ στρατίῳ καὶ αὐ τοῦ ὁ μοζύγῳ.**